# 16 ΜΑΪΟΥ 2021

Κυριακὴ Γ΄ ἀπὸ τοῦ Πάσχα
τῶν ἁγίων μυροφόρων γυναικῶν, ἔτι δὲ Ἰωσὴφ τοῦ ἐξ Ἀριμαθαίας καὶ Νικοδήμου, τοῦ νυκτερινοῦ μαθητοῦ.
Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Ἡγιασμένου, Νεομ.αρτυρος Νικολάου ἐκ Μετσόβου

Ἦχος β΄. Ἑωθινὸν Δ΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

ὁ Ἱερεύς· ***Εὐλογητὸς ὁ Θεὸς ἡμῶν...***
τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν… (ἐκ γ΄)
(ἅπαξ ἀπὸ τοῦ Ἱεροῦ Βήματος καὶ ἀνὰ μίαν ὑπὸ τῶν Χορῶν)

αὖθις ὁ Ἀναγνώστης· Δόξα Πατρί.. Παναγία Τριάς.

Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·
***Ὅτι πρέπει σοι πᾶσα δόξα...***

Ἦχος β΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

τὸ Ἀναστάσιμον. Ἦχος β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ἕτερον. Ἦχος β΄.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Ταῖς Μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
***Ὅτι σὸν τὸ κράτος...***

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν

τὰ Ἀναστάσιμα. Ἦχος β΄.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς Πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.

Δόξα.

Τὸν κόλπον τὸν ἄχραντον, ἐν ὑψίστοις μὴ κενώσας, ταφὴν καὶ ἀνάστασιν, ὑπὲρ πάντων κατεδέξω, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Ἕτερα.

Αἱ Μυροφόροι ὄρθριαι γενόμεναι, καὶ τὸ μνῆμα κενὸν θεασάμεναι, τοῖς Ἀποστόλοις ἔλεγον· Τὴν φθορὰν καθεῖλεν ὁ κραταιός, καὶ τοὺς ἐν ᾅδῃ ἥρπασε τῶν δεσμῶν· κηρύξατε παῤῥησίᾳ· Ὅτι ἀνέστη Χριστὸς ὁ Θεός, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα.

Τὰ μύρα τῆς ταφῆς σου, αἱ γυναῖκες κομίσασαι, λαθραίως πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι, τῶν Ἰουδαίων δειλιῶσαι τὴν αὐθάδειαν καὶ στρατιωτῶν προορῶσαι τὴν ἀσφάλειαν· ἀλλὰ φύσις ἀσθενὴς τὴν ἀνδρείαν ἐνίκησεν· ὅτι γνώμη συμπαθὴς τῷ Θεῷ εὐηρέστησε· προσφόρως οὖν ἐκραύγαζον· Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τοῦ ὀνόματός σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν· διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

* * *

## ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

### Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο ἀγγέλου πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (γ΄)

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι ηὐλόγηταί Σου...*

* * *

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

ἡ Ὑπακοή. Ἦχος β´.

Μετὰ τὸ πάθος, πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι, τὸ σῶμά σου αἱ γυναῖκες, Χριστὲ ὁ Θεός, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

### οἱ Ἀναβαθμοί. Ἦχος β´.

Ἀντίφωνον Α´.

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ· σῶσόν με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλά, καθ᾽ ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν· Θεὸς γάρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Β´.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῷος φυλαχθῆναι ἐκ τοῦ ἐχθροῦ ἅμα καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ παραδῷς Σῶτερ τὸν σὸν δοῦλον· λέοντος τρόπον κατ᾽ ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας· πάντα γὰρ τὰ κτιστά, ὡς Θεὸς ὢν δυναμοῖ, συντηρεῖ ἐν Πατρὶ δι᾽ Υἱοῦ δέ.

Ἀντίφωνον Γ´.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν ὄρει τῷ ἁγίῳ· οἳ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ βελίαρ.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες· οὐ γὰρ ἐᾷ Χριστός, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, προσπηγάζει πᾶσα σοφία, ἔνθεν χάρις Ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται, Μάρτυρες, καὶ Προφῆται ὁρῶσιν.

### Προκείμενον.

Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. (δίς)

Στίχ. Κύριε, ὁ Θεός μου, ἐπὶ σοί ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με.
Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.*** Κύριε, ἐλέησον. ὁ ἱερεύς· ***Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...***

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ… πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*** Κύριε, ἐλέησον. (γ´)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.*** ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.***

Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*** ὁ διάκονος· ***Πρόσχωμεν.***

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον.

## Ἑωθινὸν Δ´

## Ἐκ τοῦ κατὰ Λουκᾶν

(κδ´ 1-12)

Τῇ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ᾽ ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ, καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ οἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

Ἦχος β´.

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

*Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...* Κύριε, ἐλέησον. (ιβʹ) *Ἐλέει καὶ οἰκτιρμοῖς...*

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν καὶ τῶν δύο Θεοτοκίων, (καταλιμπανομένου τοῦ Κανόνος τῶν Μυροφόρων)

ὁ Κανὼν τοῦ Πάσχα

### Ὠιδὴ αʹ. Ἦχος αʹ. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί· Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας. (δίς)

Στίχ. Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καί· Χαίρετε, φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

Στίχ. Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατὸς τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

ὁ Κανὼν τῆς Θεοτόκου

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς πρώτοις Τροπαρίοις· Θεοφάνους.

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Δόξα.

Θανατώσεως τὸν ὅρον ἀνεμόχλευσας, τὴν αἰωνίαν ζωήν, κυοφορήσασα Χριστόν, τὸν ἐκ τάφου ἀναλάμψαντα σήμερον, Παρθένε πανάμωμε, καὶ τὸν κόσμον φωτίσαντα.

Καὶ νῦν.

Ἀναστάντα κατιδοῦσα σὸν Υἱὸν καὶ Θεόν, χαίροις σὺν Ἀποστόλοις, θεοχαρίτωτε ἁγνή, καὶ τὸ Χαῖρε πρωτουργῶς, ὡς πάντων χαρᾶς, αἰτία εἰσδέδεξαι, Θεομῆτορ πανάμωμε.

### Ὠιδὴ γʹ.

ὁ Κανὼν τοῦ Πάσχα

Ἦχος αʹ. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα. (δίς)

Στίχ. Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

Νῦν πάντα πεπλήρωται φωτός, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Στίχ. Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

Χθὲς συνεθαπτόμην σοι Χριστέ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

ὁ τῆς Θεοτόκου. Ἦχος ὁ αὐτός.

Δόξα.

Ἐπὶ τὴν ἀκήρατον ζωήν, ἐπανέρχομαι σήμερον ἀγαθότητι, τοῦ γεννηθέντος ἐκ σοῦ, καὶ πᾶσι τοῖς πέρασιν Ἁγνή, τὸ φέγγος ἀστράψαντος.

Καὶ νῦν.

Θεὸν ὃν ἐκύησας σαρκί, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, θεασαμένη Ἁγνή, χόρευε, καὶ τοῦτον, ὡς Θεόν, ἄχραντε μεγάλυνε.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα τῶν Μυροφόρων

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὰ μῦρα θερμῶς, τῷ τάφῳ προσκομίζουσαι, Γυναῖκες Σωτήρ, Ἀγγέλου τῇ λαμπρότητι, τὰς ψυχὰς ἠγάλλοντο, καὶ Θεόν σε τῶν ὅλων ἐκήρυττον, καὶ Μαθηταῖς ἐβόων· Ὄντως ἀνέστη ἐκ τάφου ἡ πάντων ζωή.

Δόξα. Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Τῶν Μαθητῶν σου ὁ χορός, σὺν Μυροφόροις γυναιξίν, ἀγάλλεται συμφώνως· κοινὴν γὰρ ἑορτὴν σὺν αὐταῖς ἑορτάζουσιν εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως, καὶ δι᾿ αὐτῶν βοῶμέν σοι· Φιλάνθρωπε Κύριε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον καὶ Οἶκος τῶν Μυροφόρων.

Κοντάκιον Αὐτόμελον. Ἦχος β΄.

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός· τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας· ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

ὁ Οἶκος

Ἐπὶ τὸν τάφον σου Σωτήρ, αἱ Μυροφόροι πορευόμεναι, πρὸς ἑαυτὰς διηπόρουν τῷ νοΐ, καὶ ἐφθέγγοντο· Τίς ἡμῖν τὸν λίθον ἀποκυλίσει τοῦ μνήματος; Καὶ ἀναβλέψασαι, ὁρῶσιν ὅτι ὁ λίθος ἀποκεκύλισται· τῇ μορφῇ δὲ τοῦ Ἀγγέλου σὺν τῇ στολῇ ἐθαμβοῦντο, συνείχοντο δὲ τρόμῳ, καὶ φεύγειν ἐνόμιζον· καὶ πρὸς αὐτὰς ὁ νεανίσκος ἐβόησε· Μὴ φοβεῖσθε ὑμεῖς· ὃν ζητεῖτε, ἀνέστη· δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ταχὺ πορευθεῖσαι, ἀπαγγείλατε τοῖς Μαθηταῖς· Ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Συναξάριον

Τῇ ΙΣΤ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Ἡγιασμένου.

Στίχοι

Δῶρον σε θεῖον Θεόδωρε δεικνύει,
Ἐν Ἁγίοις Ἅγιος ἡγιασμένε.

Τῇ δέγε ἑνδεκάτῃ Θεόδωρος ἀφίπτατο γαίης.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀλεξάνδρου, ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχοι

Ἰδὼν τόπους, οὓς εἶδεν ἔνσαρκος Λόγος,
Ἀπεῖλες, Ἀλέξανδρε, καὶ τοῦτον βλέπειν.

Μνήμη τῶν Ἁγίων Μαρτύρων Αὐδᾶ, Αὐδιησοῦ, Ἐπισκόπου, καὶ τῶν σὺν αὐτοῖς τριάκοντα ὀκτώ, πρεσβυτέρων δέκα ἕξ, Διακόνων ἐννέα, μοναχῶν ἕξ, καὶ παρθένων ἑπτά.

Στίχοι

Ἄμφω πρὸ τῶν σῶν, Αὐδᾶ Μάρτυς, ὀμμάτων,
Τομεὺς κεφαλῆς καὶ βραβεὺς θείου στέφους.

Ἐκδοὺς ἑαυτὸν Αὐδιησοῦς τῷ ξίφει,
Ὁρᾷν Ἰησοῦν ἠξιώθη τὸν μέγαν.

Τοὺς ἱερεῖς σου Σῶτερ ἔκτεινε ξίφος,
Τὴν Ἱεράν σου μὴ προδόντας ἀξίαν.

Τοὺς τρισσάκις τρεῖς Λευΐτας τετμημένους,
Στέφει Θεὸς δὶς ὡς ἀθλητολευΐτας.

Εἰ παρθένων ἔδωκεν ἑπτάδα ξίφει,
Πῶς οὐ παρέξει καὶ Μοναχῶν ἑξάδα;

Εἰ Παρθενων ἔδωκεν ἑπτάδι στέφος,
Πῶς οὐ παρέξει καὶ Μοναχῶν ἑξάδι;

Οἱ Ἅγιοι Μάρτυρες Ἰσαάκιος, Συμεὼν καὶ Βαχθισόης πυρὶ τελειοῦνται.

Στίχοι

Πρὸς ἓν πῦρ ἐκπνέουσι τρεῖς ὁμοφρόνως,
Ἰσαάκιος, Συμεών, Βαχθισόης.

Οἱ Ἅγιοι Ἀββάδες, οἱ ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα, ὑπὸ τῶν Βλεμμύων ξίφει τελειοῦνται.

Στίχοι

Σοὺς Σῶτερ ἄρνας ὡς ὀδοῦσι ταῖς σπάθαις,
Μάνδρας ἔσω κτείνουσιν εἰσδύντες λύκοι.

Ὁ Ἅγιος Μάρτυς Παπυλῖνος ξίφει τελειοῦται.

Στίχοι

Ὁ Παπυλῖνος θραῦσιν εὑρὼν ἐκ ξίφους,
Πύλας πλάνης ἔθραυσε καὶ θεοὺς ἅμα.

Ὁ Ὅσιος Βάρας, συνασκητὴς τοῦ Ὁσίου Παταπίου καὶ τοῦ Ὁσίου Ραβουλᾶ ἐν τῷ Ξηρολόφῳ τῆς Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ξένως ὁ θυμιάσας ἄνακτα, Βάρας·
Παντάνακτα θυμιᾷ νῦν ἐν πόλῳ.

Ὁ Ἅγιος Μάρτυς Πέτρος, ὁ ἐν Βλαχέρναις, βουνεύροις τυφθείς, τελειοῦται.

Στίχοι

Ἄσειστος ὄντως πίστεως Πέτρος πέτρα,
Πρὸς ὃν τὰ νεῦρα πάπυροι τὸ τοῦ λόγου.

Ὁ Ἅγιος Νικόλαος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ὁ Νικόλαος, ἐκλιπὼν σκιὰν βίου,
Πρὸς ἄσκιον μετῆλθε φωτὸς χωρίον.

Ὁ Ἅγιος Νεομάρτυς Νικόλαος ὁ ἐκ Μετζόβου, ὁ ἐν Τρικκάλοις μαρτυρήσας, πυρὶ τελειοῦται.

Στίχοι

Ἵν᾽ ἐκφύγῃς πῦρ τῆς γεένης, παμμάκαρ,
Τὸ πῦρ ὑπέστης, Νικόλαε εὐθύφρον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ματθαίου τοῦ ἐν Γιαράνσκ τῆς Ῥωσίας ἱερομονάχου, τοῦ ὁμολογητοῦ καὶ Θαυματουργοῦ. (+1927)

Στίχοι
Οὐχ ὁ Ματθαῖος τοῦ Γιαρὰνσκ τελώνης,
Ἀλλ᾽ ὁμολογητὴς μητρὸς Ἐκκλησίας.

Καὶ Μνήμη τῆς Ἁγίας Εὐφημίας πλησίον τοῦ νεωρίου λιμένος εἰς τὴν ἁγίαν Δύναμιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τρίτῃ Κυριακῇ τοῦ Μηνὸς Μαΐου, Σύναξιν ἐπιτελοῦμεν πάντων τῶν ἐν Θρᾴκῃ διαλαμψάντων Ἁγίων· Ἀποστόλων, Ἱεραρχῶν, Μαρτύρων, Ὁσίων καὶ Νεομαρτύρων.

Στίχοι
Θεοσύλλεκτον σμῆνος Ἁγίων Θρᾴκης,
Ἐπιβούλων αὐτῆς χαίρετε διῶκται.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ μετὰ τὴν 15ην Μαΐου, Σύναξις ἐπιτελεῖται ἐν τῇ μεγαλουπόλει τῆς Θεσσαλίας Λαρίσσῃ πάντων τῶν Ἁγίων Ἱεραρχῶν τῶν ἐν αὐτῇ Ἀρχιερατευσάντων, ἤτοι· Ἀχιλλείου τοῦ Μυροβλύτου, Βησσαρίωνος Α΄ τοῦ Ἡγιασμένου, Βησσαρίωνος Β΄ τοῦ Σωτῆρος, Διονυσίου τοῦ Ἐλεήμονος, Θωμᾶ τοῦ Γοριανίτου, Μάρκου τοῦ Ἡσυχαστοῦ, Νεοφύτου νέου κτίτορος Δουσίκου, Κυπριανοῦ τοῦ θαυματουργοῦ καὶ Ἀντωνίου τοῦ Νέου Θεολόγου. Ἰστέον δὲ ὅτι ἑτέρα Ἑορτή ἐστιν ἡ κατὰ τὴς πρώτην Κυριακὴν τοῦ Νοεμβρίου ἁπάντων τῶν ἐν Λαρίσσῃ διαλαμψάντων δέκα καὶ ὀκτὼ Ἁγίων Σύναξις τελουμένη.

Στίχοι
Ἐν τῷ ἐπουρανίῳ περιχορεύοντες Πατέρες, Θρόνῳ,
Μνήσθητε καὶ τῶν ἐπὶ γῆς διακονούντων διαδόχως.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ ἀπὸ τοῦ Πάσχα, τὴν τῶν ἁγίων Ἐνδόξων Μυροφόρων γυναικῶν ἑορτὴν ἑορτάζομεν, ἔτι δὲ μνείαν ποιούμεθα καὶ τοῦ ἐξ Ἀριμαθαίας Ἰωσήφ, ὃς ἦν μαθητὴς κεκρυμμένος, πρὸς δέ, καὶ τοῦ νυκτερινοῦ μαθητοῦ Νικοδήμου.

Στίχοι
Χριστῷ φέρουσιν αἱ Μαθήτριαι μύρα.
Ἐγὼ δὲ ταύταις ὕμνον, ὡς μύρον φέρω.

Ἦσαν δὲ ἀμφότεροι εὐσχήμονες Βουλευταί, μὴ συγκατατεθειμένοι τῇ βουλῇ καὶ τῇ πράξει τῶν Ἰουδαίων. Αἱ δὲ Μαθήτριαι Μυροφόροι, αἱ παραστᾶσαι μακρόθεν τῇ Θεοσώμῳ Ταφῇ τοῦ Λυτρωτοῦ καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων εὐαγγελισθεῖσαι τὴν Ἀνάστασιν, ἦσαν· Μαρία ἡ Μαγδαληνή, Μαρία ἡ τοῦ Κλωπᾶ, Σαλώμη, Ἰωάννα γυνὴ Χουζᾶ, Σουσάννα καὶ ἕτεραι ἀνώνυμοι σὺν αὐταῖς.

*

Τῇ αὐτῇ ἡμέρᾳ, τελοῦνται καὶ τοπικαὶ Πανηγύρεις· ἐν Θεσσαλονίκῃ, πάντων τῶν ἐν τῇ Ἱερᾷ Μητροπόλει ταύτῃ ἀσκήσει καὶ ἀθλήσει διαλαμψάντων Ἁγίων· ἐν Χίῳ, Εὐβοίᾳ καὶ Ἠπείρῳ ὁμοίως διαλαμψάντων Ἁγίων· ἐν Καλάμαις Ἠλία Νεομάρτυρος τοῦ Ἀρδούνη +1695)· ἐν Χώρᾳ Τριφυλλίας τοῦ Νεομάρτυρος Δημητρίου (+1803)· ἐν Καρδίτσῃ Σεραφεὶμ Ἱερομάρτυρος Ἐπισκόπου Φαναρίου (+1601)· ἐν Ἄρτῃ τῶν Ὁσίων Θεοχάρους καὶ Ἀποστόλου τῶν αὐταδέλφων· ἐν Μανδαμάδῳ δέ, Πανήγυρις τοῦ Παμμεγίστου Ταξιάρχου Μιχαὴλ, ἐπὶ τοῖς ἐγκαινίοις τοῦ ἱεροῦ προσκυνήματος.

Ταῖς τῶν ἁγίων Μυροφόρων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

### τοῦ Πάσχα

### Ὠιδὴ α΄. Ἦχος α΄.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν, λαοί· Πάσχα Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

### Ὠιδὴ γ΄.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγὴν ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ...

... ἐν ᾧ στερεούμεθα.

### Ὠιδὴ δ΄.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ στήτω μεθ᾿ ἡμῶν καὶ δεικνύτω φαεσφόρον ἄγγελον διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

### Ὠιδὴ ε΄.

Ὀρθρίσωμεν ὄρθρου βαθέος καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

### Ὠιδὴ ϛ΄.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς καὶ συνέτριψας μοχλούς, αἰωνίους κατόχους πεπεδημένων, Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

### Ὠιδὴ ζ΄.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος πάσχει ὡς θνητὸς καὶ διὰ πάθους τὸ θνητὸν ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

### Ὠιδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

ὁ διάκονος· ***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.***

ἡ Τιμιωτέρα οὐ στιχολογεῖται,
ψάλλεται δὲ ἐκ τοῦ Κανόνος τοῦ Πάσχα ἡ θ΄ ᾠδή.

### Ὠιδὴ θ΄. Ὁ Εἱρμός.

Στίχ. α΄. Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Στίχ. β΄. Μεγάλυνον ψυχή μου τὸν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Στίχ. γ΄. Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου.

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς· μεθ᾿ ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Στίχ. δ΄. Σήμερον πᾶσα κτίσις ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ· ὢ σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ Ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

καὶ τῆς Θεοτόκου. Ἦχος ὁ αὐτός.

Δόξα.

Στίχ. ε΄. Μεγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Συμφώνως Παρθένε, σὲ μακαρίζομεν πιστοί· Χαῖρε πύλη Κυρίου· χαῖρε πόλις ἔμψυχε· χαῖρε, δι᾿ ἧς ἡμῖν ἔλαμψε, σήμερον φῶς τοῦ ἐκ σοῦ τεχθέντος, τῆς ἐκ νεκρῶν ἀναστάσεως.

Καὶ νῦν.

Στίχ. ϛ΄. Χαῖρε, Παρθένε, χαῖρε· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Εὐφραίνου, ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτός· ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον, καὶ τοὺς πιστοὺς πάντας καταυγάσας, θεοχαρίτωτε Δέσποινα.

### Καταβασία. Ὠιδὴ θ΄.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμε-

ρος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...*

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ...
... ὅτι ἅγιός ἐστιν.

Ἐξαποστειλάριον τοῦ Πάσχα. Ἦχος β΄.

Σαρκὶ ὑπνώσας ὡς θνητός, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας, τοῦ κόσμου σωτήριον.

καὶ τῶν Μυροφόρων

Ἦχος β΄. Αὐτόμελον.

Γυναῖκες ἀκουτίσθητε, φωνὴν ἀγαλλιάσεως· Τύραννον ᾄδην πατήσας, φθορᾶς ἐξήγειρα κόσμον· δράμετε Φίλοις εἴπατε, τοῖς ἐμοῖς εὐαγγέλια· βούλομαι γὰρ τὸ πλάσμα μου, χαρὰν ἐκεῖθεν αὐγάσαι, ἐξ ἧς προῆλθεν ἡ λύπη.

* * *

## ΑΙΝΟΙ

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Ἀναστάσιμα δ΄. Ἦχος β΄.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς λαοῖς, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; Διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν· Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ ἀναστάσει ἐκύλισεν. Ὁ μέν, ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων, ὁ δέ, ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. Διὸ βοῶ-

μέν σοι· Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

καὶ τὰ Στιχηρὰ τοῦ Πάσχα. Ἦχος πλ. α´.

Στίχ. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, Ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ᾽ ἡμῶν χαρᾶς εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστόν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Πάσχα τὸ τερπνόν· Πάσχα Κυρίου, Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώμεθα· ὢ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστός, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Δόξα. Ἑωθινὸν Β´. Ἦχος β´.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξί, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς· Ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθε αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Καὶ νῦν. Ἦχος πλ. α´.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

* * *

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ´)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ´)

Δόξα. Καὶ νῦν.
Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.
Καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ τὸ ἀναστάσιμον τροπάριον. Ἦχος δ´.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν… (ἐκ γ´)

Ἀντίφωνα τοῦ Πάσχα

Ἀντίφωνον Α´. Ἦχος β´. Ψαλμὸς ξε´ (65)

Στίχ. α´. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β´. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. γ´. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. δ´. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Ἀντίφωνον Β´. Ἦχος β´. Ψαλμὸς ξστ´ (66)

Στίχ. α´. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾿ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β´. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. γ΄. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. δ΄. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος πλ. α΄. Ψαλμὸς ξζ΄ (67)

Στίχ. α΄. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.
Χριστὸς ἀνέστη…

Στίχ. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.
Χριστὸς ἀνέστη…

Στίχ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
Χριστὸς ἀνέστη…

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν)

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…

… ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

οὐ ψάλλεται δὲ πάλιν τὸ «Χριστὸς ἀνέστη», ἀλλ᾽ εὐθὺς τὰ Ἀπολυτίκια.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀπολυτίκιον τῶν Μυροφόρων. Ἦχος β΄.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον. Ἦχος β΄.

Ταῖς Μυροφόροις γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τοῦ Πάσχα.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικη-

τής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος· Χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

* * *

-------- ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ --------

* * *

## ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ἦχος β΄. (Ψαλμὸς ριζ΄)

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.

Στίχ. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πρξ. Ϛ΄ 1-7)

Ἐν ταῖς ἡμέραις ἐκείναις, πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπον· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις. Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος Ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος Ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα καὶ Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν Ἰουδαίων ὑπήκουον τῇ πίστει.

Ἀλληλούϊα. (γ΄)

Ἦχος β΄. (Ψαλμὸς ιθ΄)

Στίχ. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως.

Στίχ. Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν.

* * *

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον

(ιε΄ 43-47, ις΄ 1-8)

Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται. Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ᾽ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχύ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία Ἰω.Χρυσοστόμου**

* * *

Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…

Ὁ Εἱρμὸς τῆς θ΄ ᾠδῆς. Ἦχος α΄.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ·

Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε·
ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

* * *

Κοινωνικόν.

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν...

Ἦχος πλ. α΄.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἰς τό· ***Πάντοτε, νῦν καὶ ἀεί...***

Ἦχος β΄.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων καὶ φρικτῶν σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· ***Ὁ ἀναστὰς ἐκ νεκρῶν...***

Ἀντὶ δὲ τοῦ 'δι᾽ εὐχῶν', ἐκφώνησις ὑπὸ τοῦ λειτουργοῦ·

***Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.***

ὁ δὲ Χορὸς ἀποκρίνεται ἐμμελῶς·

Ἀληθῶς ἀνέστη ὁ Κύριος.

* * * *

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**

**καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**

**http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**

**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**

## Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

τοῦ Νυκτερινοῦ Μαθητοῦ Νικοδήμου.

(ποίημα †Πατρῶν Νικοδήμου Βαλληνδρᾶ)

Ἦχος δ΄. Κανόνα πίστεως.

Χριστὸν τὸν Κύριον ἐν νυκτὶ ἐπεσκέψατο· ἀναγέννησιν ἄνωθεν ἐκδιδαχθεὶς ἐμαθήτευσεν, ὡς κεκρυμμένος ἀπόστολος· εὐθαρσῶς διεφώνει πρὸς φαρισαίους καὶ γραμματεῖς, τὸν σωτῆρα διώκοντας· ὃν νεκρὸν καθεῖλεν ἐκ τοῦ σταυροῦ, μύρα τῇ ταφῇ ἐνεγκών, Νικόδημος ὁ ἔνθερμος.

Ἀπολυτίκιον Ὁσίου Θεοδώρου.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, θεοφόρε πατὴρ ἡμῶν Θεόδωρε, νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νο-

σοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας πίστεως.

Δῶρον πέφηνας, ἁγιωσύνης, τὸν πανάγιον, δοξάσας Λόγον, ἡγιασμένε θεόφρον Θεόδωρε· ὅθεν βλαστάνεις ἐκ θείας χρηστότητος, ἁγιασμὸν ἀληθῆ τοῖς βοῶσί σοι· Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον Ὁσιομαρτύρων Ἁγίου Σάββα.

(Γερασίμου Μικραγιαννανίτου)

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Χωρῶν ἐκ διαφόρων ὡρμημένοι προσήλθετε, Σάββα τοῦ Ὁσίου τῇ Λαύρᾳ καὶ ὁσίως βιώσαντες, ὑπέστητε βαρβάρων τὴν ὁρμήν, καὶ ὤφθητε Μαρτύρων κοινωνοί· διὰ τοῦτο εὐφημοῦμεν ᾀσματικῶς, ὑμᾶς Ὁσιομάρτυρες. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένω δι᾽ ὑμῶν, ἡμῖν πταισμάτων ἄφεσιν.

Ἕτερον.

(Γερασίμου Μικραγιαννανίτου)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ζωὴν τὴν ἰσάγγελον, ἐν θεολήπτῳ ψυχῇ, ἐν Λαύρᾳ ἠνύσατε, τοῦ Σάββα τοῦ θαυμαστοῦ, Πατέρες μακάριοι· ξίφει δὲ ἐκτμηθέντες, ταῖς χερσὶ τῶν βαρβάρων, δόξης ἀκαταλύτου, ἠξιώθητε ἅμα, πρεσβεύοντες τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ἕτερον

(Χαραλάμπους Μπούσια)

Ἕτερον Ἀπολυτίκιον τῶν Ὁσιομαρτύρων.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τοῦ Σωτῆρος ἁγιόλεκτοι ἄρνες, ἐξωρμημένοι ἐκ χωρῶν διαφόρων, τῇ Ποίμνῃ συνεδράμετε Σάββα τοῦ σοφοῦ· ὅθεν θανατούμενοι, ἀπηνείᾳ βαρβάρων, χαίροντες ἀνήλθετε, πρὸς οὐράνιον μάνδραν, καθάπερ Ὅσιοι καὶ Ἀθληταί, ἐκδυσωποῦντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον τῶν Ὁσιομαρτύρων.

(Χαραλάμπους Μπούσια)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τοὺς χερσὶ μιαιφόνοις ἀνόμων μέλψωμεν ἀναιρεθέντας πατέρας ἀνηλεῶς οἱ πιστοὶ ἐν τῇ Λαύρᾳ Σάββα πάντες τοῦ θεόφρονος κράζοντες· ῥύσασθε δεινῶν ἐσομένων τοὺς ὑμῶν τὴν θήκην ἀσπαζομένων τῶν πανιέρων λειψάνων, πανευκλεεῖς ὁσιομάρτυρες.

Ἀπολυτίκιον.

(Χαραλάμπους Μπούσια)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν χλαῖναν τῆς πίστεως ἐνδεδυμένοι καλῶς, ἀγῶσιν ἀσκήσεως καὶ ἐν ἀθλήσει στεῤῥᾷ, Χριστὸν ἐδοξάσατε· ὅθεν Πατέρες θεῖοι, διπλοῦν στέφος δεχθέντες, ἄνωθεν ἐκ τοῦ Κτίστου, πρεσβεύοντες πρὸς Αὐτόν, δοθῆναι πᾶσιν ἡμῖν, χάριν καὶ ἔλεος.

Ἕτερον.

(Χαραλάμπους Μπούσια)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀσκητῶν τὴν χορείαν ἀνευφημήσωμεν, οἱ αἱμάτων πλημμύρᾳ καταποντίσαντες, τὸν ἀρχαῖον πτερνιστὴν Πατέρες Ὅσιοι· ὅθεν ὡς Μάρτυρας Χριστοῦ, καὶ γενναίους Ἀθλητάς, τιμῶμεν νῦν καὶ βοῶμεν· πρεσβεύσατε ὑπὲρ ἡμῶν, μοναζόντων θεῖα προπύργια.

Ἀπολυτίκιον.

(ὑπὸ Σεβ.Κυθήρων Σεραφείμ Στεργιούλη)

### Ἦχος δ΄. Κανόνα πίστεως.

Πατέρες Ὅσιοι, Μαρτύρων ἐγκαλλώπισμα, ἀσκηταὶ ἱερώτατοι, ἀνεδείχθητε ὦ στεῤῥόψυχοι, Σαββαΐται πανσεβάσμιοι· διὰ τοῦτο στεφάνους δόξης θεόθεν ἐλάβετε, μακαρίαν ἀνάπαυσιν πάντες τοῦ Θεοῦ λίθοι τίμιοι, κοσμήματα πανίερα, πρεσβεύετε ὑπὲρ ἡμῶν.

### Ἀπολυτίκιον Ὁσίου Βάρα.

(Χαραλάμπους Μπούσια)

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Προσευχῇ καὶ ἀσκήσει τὸν ἁμιλλώμενον, τῷ Παταπίῳ τῷ θείῳ, καὶ Ῥαβουλᾷ τῷ σεπτῷ, καὶ νοῒ αὐτοῦ τὸν πόλον διερχόμενον, Βάραν ὑμνήσωμεν φαιδρῶς, Βυζαντίου ὡς σεπτόν, ὡράϊσμα ἐκβοῶντες· χαρᾶς ἡμᾶς πλῆσον πάντας, βεβαρυμένους πλείσταις θλίψεσι.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ ἀπὸ τοῦ Πάσχα, τὴν Σύναξιν ἐπιτελοῦμεν τῆς Ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τῆς ἐπιλεγομένης Ἀτταλειωτίσσης-Κυκκωτίσσης, τῆς παρ᾽ ἡμῶν καλουμένης Τσικοπαναγίας καὶ παρὰ πάντων Ἐλεούσης, ἧς ἡ πάνσεπτος καὶ θαυματουργὸς Εἰκὼν φυλάσσεται εἰς τὸν ἐν Ταύρῳ τῆς Ἀττικῆς Ἱερὸν Ναὸν, κλέος δὲ πάντων τῶν Μικρασιατῶν ὑπάρχουσα.

Στίχοι

Ἄξιον ὑμνέειν τὰ κλέη τῆς Παρθένου
Κυκκωτίσσης ἅπαντας Μικρασιάτας.

Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησις τοῦ διὰ τῆς Ὑπεραγίας Θεοτόκου τῆς Κυκκωτίσσης γενομένου θαύματος ἐν τῷ Ναῷ τοῦ Ἁγίου Ἱεράρχου Νικολάου τῆς Ἀτταλείας.

Στίχοι

Παράλυτον εὐνῆς ἀνιστάεις ταχέως,
ὦ Ἀτταλειώτισσα, ἐπιστᾶσα πάντως.

### Ἀπολυτίκιον Παναγίας Ἀτταλειωτίσσης

(ὑπὸ Ἀρχιμ.Φιλουμένου Ρούμπη)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς ἁγίας μορφῆς σου τὸ ὑπέρλαμπρον ἔκτυπον, τὸ ἐν τῷ πανσέπτῳ Ναῷ σου, προσκυνοῦντες λαμβάνομεν ἰάματα καὶ χάριν τὴν πολλήν, Κυκκώτισσα Παρθένε Μαριάμ· διὰ τοῦτο ὑμνῳδίαις πνευματικαῖς σὲ στέφομεν ἐκβοῶντες· χαῖρε, ὦ Ἐλεοῦσα θαυμαστή, χαῖρε, προσφύγων καύχημα, χαῖρε, τῆς Ἀτταλείας ὁ ποιμὴν καὶ Ἀλαΐας στήριγμα.